Ἰφ. οὐδ᾽ ὄνομ᾽ ἀκούϲαϲ οἶϲθα τῶν ξένων φράϲαι;
Βο. Πυλάδηϲ ἐκλῄιζεθ᾽ ἅτεροϲ πρὸϲ θατέρου.
Ἰφ. τῶι ξυζύγωι δὲ τοῦ ξένου τί τοὔνομ᾽ ἦν;
Βο. οὐδεὶϲ τόδ᾽ οἶδεν· οὐ γὰρ εἰϲηκούϲαμεν.
Ἰφ. ποῦ δ᾽ εἴδετ᾽ αὐτοὺϲ κἀντυχόντεϲ εἵλετε;
Βο. ἄκραιϲ ἐπὶ ῥηγμῖϲιν ἀξένου πόρου.
Ἰφ. καὶ τίϲ θαλάϲϲηϲ βουκόλοιϲ κοινωνία;
Βο. βοῦϲ ἤλθομεν νίψοντεϲ ἐναλίαι δρόϲωι.
Ἰφ. ἐκεῖϲε δὴ ᾽πάνελθε, πῶϲ νιν εἵλετε
τρόπωι θ᾽ ὁποίωι· τοῦτο γὰρ μαθεῖν θέλω.
[χρόνιοι γὰρ ἥκουϲ᾽· οὐδέ πω βωμὸϲ θεᾶϲ
Ἑλληνικαῖϲιν ἐξεφοινίχθη ῥοαῖϲ.]
Βο. ἐπεὶ τὸν ἐκρέοντα διὰ Ϲυμπληγάδων
βοῦϲ ὑλοφορβοὺϲ πόντον εἰϲεβάλλομεν,
ἦν τιϲ διαρρὼξ κυμάτων πολλῶι ϲάλωι
κοιλωπὸϲ ἀγμόϲ, πορφυρευτικαὶ ϲτέγαι.
ἐνταῦθα διϲϲοὺϲ εἶδέ τιϲ νεανίαϲ
βουφορβὸϲ ἡμῶν, κἀνεχώρηϲεν πάλιν
ἄκροιϲι δακτύλοιϲι πορθμεύων ἴχνοϲ.
ἔλεξε δ᾽· Οὐχ ὁρᾶτε; δαίμονέϲ τινεϲ
θάϲϲουϲιν οἵδε. θεοϲεβὴϲ δ᾽ ἡμῶν τιϲ ὢν
ἀνέϲχε χεῖρα καὶ προϲηύξατ᾽ εἰϲιδών·
Ὦ ποντίαϲ παῖ Λευκοθέαϲ, νεῶν φύλαξ,
δέϲποτα Παλαῖμον, ἵλεωϲ ἡμῖν γενοῦ,



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41614540X/262 UNIVERSITÄT LEIPZIG